# <Fragmenta>

# <Ἀποσπάσματα>

Ὁ γὰρ δεδεμένος ἐν τοῖς κοσμικοῖς πράγμασι, κἂν ἀκούσῃ τὴν ἀλήθειαν, βδελύσσεται τὸν λέγοντα. Συνετὸς μοναχὸς τὴν χρείαν στοιχήσει τοῦ σώματος, καὶ τὴν χρείαν τῆς γαστρὸς ἄρτῳ πληρώσει καὶ ὕδατι. Ὡς ὁρῶ γάρ, οἱ τοῦ παρόντος καιροῦ ἄνθρωποι τραπέζης καὶ ἀδηφαγίας εἰσὶ φίλοι μᾶλλον ἢ ἀγάπης καὶ πίστεως. Νοῦς ὅσιος αὐτοπροαίρετος. Τιμὴ ἐκ Θεοῦ καὶ πατρίδος λύτρωσις. 244 Εἴ τις ἀπροσπαθῶς πρὸς τὸ οἱονοῦν πρᾶγμα διακεῖσθαι νομίζει, ἐπὶ δὲ τῇ τούτου ἀποστερήσει, κἂν πρὸς βραχύ, τῇ καρδίᾳ λελύπηται, ὁ τοιοῦτος τελείως ἑαυτὸν ἠπάτησεν. Ὅσοι νέοι περὶ τοὺς τῶν σωμάτων ἔρωτας καὶ τὴν τρυφὴν ἐμμανῶς διάκεινται, καὶ τῇ μοναδικῇ πολιτείᾳ προσελθεῖν βούλονται, πάσῃ νήψει καὶ προσοχῇ ἑαυτοὺς γυμνάσωσι, καὶ πείσωσι πάσης τρυφῆς καὶ πονηρίας ἀπέχεσθαι, μήπως γένωνται αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. Ὁ λιμὴν καὶ σωτηρίας καὶ κινδύνων πολλάκις πρόξενος. Καὶ τοῦτο γινώσκουσιν οἱ τὴν νοητὴν θάλασσαν πλέοντες. Ἐλεεινὸν δὲ εἰδέσθαι θέαμα τοὺς ἐν τῷ πελάγει διασωθέντας ἐν τῷ λιμένι ναυαγήσαντας.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.